Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: eag-ab

*Τίμαιος ὁ Λοκρός* · Timaeus of Locri

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Pythagorean

1 PLATO Tim. p. 19E καταλέλειπται δὴ τὸ τῆς ὑμετέρας ἕξεως γένος ἅμα ἀμφοτέρων [φιλοσόφων ἀνδρῶν καὶ πολιτικῶν] φύσει καὶ τροφῆι μετέχον. Τίμαιός τε γὰρ ὅδε εὐνομωτάτης ὢν πόλεως τῆς ἐν ʼΙταλίαι Λοκρίδος, οὐσίαι καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς τῶν ἐν τῆι πόλει μετακεχείρισται, φιλοσοφίας δʼ αὖ κατʼ ἐμὴν δόξαν ἐπʼ ἄκρον ἁπάσης ἐλήλυθε.

1a SUID. T. Λοκρός, φιλόσοφος Πυθαγόρειος. Μαθηματικά, Περὶ φύσεως, Περὶ τοῦ Πυθαγόρου βίου.

2 ARISTOT. Schriftenkatalog des Diog. V 25 [Rose Frag. S. 6] n. 94 Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων α ; des Hesych. [Rose S. 14] n. 85 ʼΕκ τῶν Τιμαίου καὶ Ἀρχύτου α . SIMPL. de caelo p. 296, 16 τοιγαροῦν τὸν τοῦ Πλάτωνος Τίμαιον ἐπιτεμνόμενος γράφει· ʻ φησὶ δὲ ʻ κτλ. [Arist. fr. 206 Rose].

3 PROCL. in Tim. II 38, 1 Diehl οἱ περὶ ʼΌκκελον [c. 48] τὸν τοῦ Τιμαίου πρόοδον.